Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: fpk-ab

*Μνησιμάχος ὁ κωμικός* · Mnesimachus the Comic Poet

# Fragments on Pythagorean Dining

*Ἀποσπάσματα περὶ Πυθαγορικῆς Συμποσίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ὡς

book 1.2 Πυθαγοριστῇ θύομεν τῷ Λοξίᾳ, ἔμψυχον οὐδὲν ἐσθίοντες

book 1.3 παντελῶς.

book 1.1 Εἰμὶ γὰρ Βοιώτιος, ὀλίγα μὲν ἄλλων δίκαια

book 1.2 ταῦτα

book 1.3 πολλὰ δ' ἐσθίων.

book 1.1 [spk_β]Ἀλλ', ἀντιβολῶ ς', ἐπίταττέ μοι μὴ πόλλ' ἄγαν, μηδ' ἄγρια λίαν, μηδ' ἐπηργυρωμένα, μέτρια δέ, τῷ θείῳ σεαυτοῦ. Β. πῶς ἔτι μετριώτερ' ὦ δαιμόνιε; Α. πῶς; σύντεμνε καὶ[ln_5]ἐπεξαπάτα με. τοὺς μὲν ἰχθῦς μοι κάλει ἰχθύδιον· ὄψον δ' ἂν λέγῃς ἕτερον, κάλει ὀψάριον. ἥδιον γὰρ ἀπολοῦμαι

book 1.2 πολύ.

book 1.1 Βαῖν' ἐκ θαλάμων κυπαρισσορόφων ἔξω, Μάνη· στεῖχ' εἰς ἀγοράν

book 1.2 πρὸς

book 1.3 τοὺς Ἑρμᾶς, οὗ προσφοιτῶς' οἱ φύλαρχοι,[ln_5]τούς

book 1.4 τε μαθητὰς

book 1.5 τοὺς ὡραίους, οὓς ἀναβαίνειν ἐπὶ τοὺς ἵππους μελετᾷ Φείδων καὶ καταβαίνειν. οἶσθ' οὓς

book 1.6 φράζω; τούτοις

book 1.7 τοίνυν ἄγγελλ' ὅτιὴ[ln_10]ψυχρὸν

book 1.8 τοὔψον, τὸ ποτὸν θερμόν, ξηρὸν φύραμ', ἄρτοι ξηροί· σπλάγχν' ὀπτᾶται, χναῦμ' ἥρπασται, κρέας ἐξ ἅλμης ἐξήρηται, τόμος ἀλλᾶντος, τόμος ἠνύστρου,[ln_15]χορδῆς ἕτερος, φύσκης ἕτερος διαλαιμοτομεῖθ' ὑπὸ τῶν ἔνδον. κρατὴρ ἐξερροίβδητ' οἴνου· πρόποσις

book 1.9 χωρεῖ· λέπεται κόρδαξ· ἀκολασταίνει νοῦς μειρακίων·

book 1.1 [ln_20]πάντες δ' ἔνδον τὰ κάτωθεν ἄνω. μέμνης' ἃ λέγω, πρόσεχ' οἷς

book 1.2 φράζω. χάσκεις αὐτός; βλέψον δευρί· πῶς αὐτὰ φράσεις; αὐτίκ' ἐρῶ σοι πάλιν ἐξ ἀρχῆς. [ln_25]ἥκειν ἤδη καὶ μὴ μέλλειν, τῷ τε μαγείρῳ μὴ λυμαίνεσθ', ὡς τῶν ὄψων ἐφθῶν ὄντων,

ὀπτῶν ὄντων, ψυχρῶν ὄντων, καθ’ ἕκαστα λέγων· βολβός, ἐλάω,σκόροδον, καυλός, κολοκύντη, ἔτνος, θρῖον, φυλλάς· θύννου

book 1.3 τεμάχη, γλάνιδος, γαλεοῦ, ῥίνης, γόγγρου, φοξῖνος ὅλος, κορακῖνος ὅλος, μεμβράς, σκόμβρος,

book 1 θυννίς, κωβιός, ἠλακατῆνες, κυνὸς οὐραῖον τῶν καρχαριῶν, νάρκη, βάτραχος, πέρκη, σαῦρος, τριχίας, φυκίς, βρίγκος, τρίγλη, κόκκυξ, τρυγών, σμύραινα, φάγρος,μύλλος, λεβίας, σπάρος, αἰολίας, θρᾶττα, χελιδών, καρίς, τευθίς, ψῆττα, δρακαινίς, πουλυπόδειον, σηπία, ὀρφώς, κάραβος, ἔσχαρος, ἀφύαι, βελόναι,κεστρεύς, σκορπίος, ἔγχελυς, ἄρκτος. κρέα τ’ ἄλλα (τὸ πλῆθος ἀμύθητον) χηνός, χοίρου, βοός, ἀρνός, οἰός, κάπρου, αἰγός, ἀλεκτρυόνος, νήττης, κίττης, πέρδικος, ἀλωπεκίου.

book 1.1 καὶ μετὰ δεῖπνον θαυμαστὸν ὅς’ ἔστ’ ἀγαθῶν

book 1.2 πλήθη. πᾶς δὲ κατ’ οἴκους μάττει, πέττει, τίλλει, κόπτει, τέμνει, δεύει, χαίρει, παίζει, πηδᾷ, δειπνεῖ,πίνει, σκιρτᾷ, λορδοῖ, κεντεῖ [βινεῖ]. σεμναὶ δ’ αὐλῶν ἀγαναὶ φωναί, μολπὰ κλαγγὰ θράττει, [νεῖται] πνεῖται. κούραν κασίας ἀπὸ γᾶς ἁγίας ἁλίας

book 1.3 Συρίαςὀσμὴ σεμνὴ μυκτῆρα δονεῖ λιβάνου, μάρου, σμύρνης, καλάμου, στύρακος, βάρου, λίνδου, κίνδου, κισθοῦ, μίνθου. τοιάδε δόμους ὁμίχλη κατέχειπάντων ἀγαθῶν ἀνάμεστος.

book 1.1 Ἆρ’ οἶσθ’ ὁτιὴ πρὸς ἄνδρας ἐστί σοι μάχη, οἳ τὰ ξίφη δειπνοῦμεν ἠκονημένα, ὄψον δὲ δᾷδας ἡμμένας καταπίνομεν; ἐντεῦθεν εὐθὺς ἐπιφέρει

book 1.2 τραγήματαἡμῖν ὁ παῖς μετὰ δεῖπνον ἀκίδας Κρητικάς, ὥσπερ ἐρεβίνθους, δορατίων

book 1.3 τε λείψανα κατεαγότ’, ἀσπίδας δὲ προσκεφάλαια καὶ θώρακας ἔχομεν, πρὸς

book 1.4 ποδῶν δὲ σφενδόνας καὶ τόξα, καταπέλταισι δ’ ἐστεφανώμεθα.

book 2.1 [spk_β]Τῶν

book 2.2 Φαρσαλίων ἥκει

book 2.3 τις, ἵνα καὶ τὰς

book 2.4 τραπέζας καταφάγῃ; Β. οὐδεὶς πάρεστιν. Α. εὖ γε δρῶντες· ἆρά που ὀπτὴν κατεσθίουσι πόλιν Ἀχαϊκήν;

book 3.1 Καὶ τὸ λεγόμενον

book 3.2 σπανιώτερον πάρεστιν ὀρνίθων γάλα, καὶ φασιανὸς ἀποτετιλμένος καλῶς.

book 4.1 Οὐκ ἀλλὰ καὶ τῆς νυκτός ἐστι Δωρίων ἔνδον

book 4.2 παρ’ ἡμῖν λοπαδοφυσητής.

book 1 Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org